βούλησις μὲν οὖν ἐστιν εὔλογος ὄρεξις.
Χαρὰ δὲ, εὔλογος ἔπαρσις.
εὐλάβεια δὲ, εὔλογος ἔκκλισις. ἡ φυλακὴ κακοῦ. ἡ ἐπιμέλεια φυλακῆς.
εὐσέβεια δὲ ἕξις κάτω ἐστραμμένας τὰς κόρας ἔχουσα.

βουλήσεως, εἴδη.

εὔνοια. εὐμένεια. ἀσπασμός.

ὅροι.

εὔνοια μὲν οὖν ἐστι, βούλησις ἀγαθῶν αὐτῶν ἕνεκεν ἐκείνων.
εὐμένεια δὲ, εὔνοια ἐπίμονος.
ἀσπασμὸς δὲ ἀδιάλειπτος ἀγάπησις.

Χαρᾶς εἴδη.

τέρψις. εὐφροσύνη. εὐθυμία.

ὅροι τῶν εἰδῶν.

τέρψις μὲν οὖν ἐστι χαρὰ πρέπουσα ταῖς περὶ αὐτὸν ὠφελείαις.
εὐφροσύνη δὲ, ἐπὶ τοῖς τοῦ σώφρονος ἔργοις χαρά.
εὐθυμία δὲ, χαρὰ ἐπὶ διαμονῇ καὶ ἀνεπιζητησίᾳ παντός.

εὐλαβείας εἴδη.

αἰδώς. ἁγνεία.

ὅροι εἰδῶν.

αἰδὼς ἐστὶν εὐλάβεια ὀρθοῦ λόγου.
ἁγνεία δὲ εὐλάβεια τῶν περὶ θεοῦ ἁμαρτημάτων.

εἴδη ἀρετῶν.

φρόνησις. σωφροσύνη. δικαιοσύνη. ἀνδρία.

ὅροι τῶν εἰδῶν.

Φρόνησις μὲν οὖν ἐστὶν ἐπιστήμη ἀγαθῶν καὶ κακῶν, καὶ οὐδετέρων. ἡ φρόνησις ἐστὶν ἡ τῶν πρακτῶν ὀρθὴ καὶ ἀληθὴς, καὶ μετ' αἰτίας θεωρία. ἡ φρόνησις ἐστὶν ἀρετὴ τοῦ λογιστικοῦ περὶ τὰ αἱρετὰ καὶ φευκτά. καὶ τὴν κρίσιν τῶν χειρόνων, ἢ βελτιόνων. σωφροσύνη δὲ ἐπιστήμη αἱρετῶν, καὶ οὐκ αἱρετῶν, καὶ οὐδετέρων. Τριμεροῦς δὲ τῆς ψυχῆς λαμβανομένης κατὰ Πλάτωνα. τοῦ μὲν λογιστικοῦ ἀρετὴ, ἡ φρόνησις. τοῦ δὲ θυμοειδοῦς, ἡ πρᾳότης καὶ ἡ ἀνδρία. τοῦ δὲ ἐπιθυμητικοῦ, ἡ σωφροσύνη, καὶ ἡ ἐγκράτεια. ὅλης δὲ τῆς ψυχῆς, ἡ δικαιοσύνη, καὶ ἡ ἐλευθερία, καὶ ἡ μεγαλοψυχία. κακία δὲ ἐστι τοῦ μὲν λογικοῦ, ἡ ἀφροσύνη. τοῦ δὲ θυμοειδοῦς, ἡ ὀργιλότης καὶ ἡ δειλία. τοῦ δὲ ἐπιθυμητικοῦ, ἡ ἀκολασία, καὶ ἡ ἀκρασία. ὅλης δὲ τῆς ψυχῆς, ἥ τε ἀδικία, καὶ ἡ ἀνελευθερία, καὶ ἡ μικροψυχία.

περὶ φρονήσεως.

Ἔστι δὲ φρόνησις, ἀρετὴ τοῦ λογιστικοῦ κατασκευαστικὴ τῶν εἰς εὐδαιμονίαν συντεινόντων. συμβαίνει δὲ αὐτῇ εἶναι, εὐβουλία. ἀγχίνοια. πρόνοια. βασιλική. στρατηγική. πραγματική. πολιτική. οἰκονομική. ἠθική. διαλεκτική. ῥητορική. φυσική. εὐβουλία μὲν οὖν ἐστὶν ἐπιστήμη συμφερόντων. ἀγχίνοια δὲ, ἕξις ἐξ ὑπογυίου τοῦ καθήκοντος εὑρίσκουσα, καὶ καταστοχαζομένη τοῦ δέοντος. πρόνοια δὲ, ἕξις εἰδοποιοῦ δυναμένη τὸ μέλλον, ὡς ἂν πράττηται, τὸ μέλλον ὡς χρή. ἡ παρασκευαστικὴ πρὸς μέλλοντά τινα. βασιλικὴ δὲ, ἐμπειρία τοῦ ἄρχειν πλήθους ἀνυπευθύνως. στρατηγικὴ δὲ, ἕξις θεωρητικὴ καὶ πρακτικὴ τῶν τῷ στρατοπέδῳ συμφερόντων. πραγματικὴ δὲ ἐπιστήμη τῶν αὐτῶν πραγμάτων. οἰκονομικὴ δὲ, ἕξις θεωρητικὴ τῶν τῷ οἴκῳ συμφερόντων. ἠθικὴ δὲ, ἐπιστήμη κοσμητικὴ τῶν ἠθῶν. διαλεκτικὴ δὲ, ἐπιστήμη τοῦ εὖ διαλέγεσθαι. ῥητορικὴ δὲ, ἐπιστήμη τοῦ εὖ λέγειν. φυσικὴ δὲ, ἐπιστήμη τῶν περὶ τὴν φύσιν. ἔργα δὲ τῆς φρονήσεως, τὸ εὖ βουλεύσασθαι. τὸ κρίνειν τὰ ἀγαθὰ, καὶ τὰ κακὰ, καὶ πάντα ἐν τῷ βίῳ αἱρετὰ, καὶ φευκτά. τὸ χρῆσθαι πᾶσι τοῖς ὑπάρχουσιν ἀγαθοῖς ὡς δεῖ. τὸ συνιδεῖν τοὺς καιροὺς, τὸ ἀγχίνως χρήσασθαι καὶ ἔργῳ καὶ λόγῳ. τὸ τὴν ἐμπειρίαν ἔχειν τῶν χρησίμων ἁπάντων. μνήμη δὲ καὶ ἐμπειρία, καὶ ἀγχίνοια, καὶ ἐπιδεξιότης, καὶ εὐβουλία, ἤτοι ἀπὸ τῆς φρονήσεως ἑκάστη αὐτῶν ἐστιν, ἢ παρέπεται τῇ φρονήσει, καθάπερ ἡ ἐμπειρία καὶ ἡ μνήμη. τὰ δὲ ἀπὸ τῆς φρονήσεως. οἷον ἡ ἐμπειρία, καὶ ἡ ἀποδεξιότης, καὶ ἡ ἀγχίνοια. πρᾳότης δὲ ἐστὶν ἀρετὴ τοῦ θυμοειδοῦς, καθ' ἣν πρὸς ὀργὰς γίνονται ἀκίνητοι. ἡ μεσότης περὶ ὀργάς. ἧς ἡ μὲν ὑπερβολὴ ὀργιλότης, καὶ τὸ ἀκρόχολον. ἡ δὲ ἔλλειψις, ἀοργησία, ἢ ἠλιθιότης. ἔργα δὲ αὐτῆς, τὸ δύνασθαι φέρειν ἐγκλήματα καὶ ὀλιγωρίας μετρίως, καὶ τὸ μὴ ταχέως ὁρμᾶν ἐπὶ τὴν τιμωρίαν. καὶ τὸ μὴ εὐκίνητον πρὸς ὀργάς, ἄπικρον δὲ τῷ ἤθει, καὶ ἀφιλόνικον.

περὶ ἀνδρίας.

http://digital.slub-dresden.de/ppn346357527/24